ἡ γῆ, ὑμεῖς δὲ ἔσεσθέ μοι βασίλειον ἱεράτευμα καὶ ἔθνος ἅγιον.
ταῦτα τὰ ῥήματα ἐρεῖς τοῖς υἱοῖς Ισραηλ Ἐὰν ἀκοῇ ἀκούσητε τῆς
φωνῆς μου καὶ ποιήσῃς πάντα, ὅσα ἂν εἴπω σοι, ἐχθρεύσω τοῖς
23 ἐχθροῖς σου καὶ ἀντικείσομαι τοῖς ἀντικειμένοις σοι. [23]πορεύσεται
γὰρ ὁ ἄγγελός μου ἡγούμενός σου καὶ εἰσάξει σε πρὸς τὸν Αμορ-
ραῖον καὶ Χετταῖον καὶ Φερεζαῖον καὶ Χαναναῖον καὶ Γεργεσαῖον
24 καὶ Ευαῖον καὶ Ιεβουσαῖον, καὶ ἐκτρίψω αὐτούς. [24]οὐ προσκυνή-
σεις τοῖς θεοῖς αὐτῶν οὐδὲ μὴ λατρεύσῃς αὐτοῖς· οὐ ποιήσεις
κατὰ τὰ ἔργα αὐτῶν, ἀλλὰ καθαιρέσει καθελεῖς καὶ συντρίβων
25 συντρίψεις τὰς στήλας αὐτῶν. [25]καὶ λατρεύσεις κυρίῳ τῷ θεῷ σου,
καὶ εὐλογήσω τὸν ἄρτον σου καὶ τὸν οἶνόν σου καὶ τὸ ὕδωρ
26 σου καὶ ἀποστρέψω μαλακίαν ἀφ᾽ ὑμῶν. [26]οὐκ ἔσται ἄγονος οὐδὲ
στεῖρα ἐπὶ τῆς γῆς σου· τὸν ἀριθμὸν τῶν ἡμερῶν σου ἀναπλη-
27 ρώσω. [27]καὶ τὸν φόβον ἀποστελῶ ἡγούμενόν σου καὶ ἐκστήσω
πάντα τὰ ἔθνη, εἰς οὓς σὺ εἰσπορεύῃ εἰς αὐτούς, καὶ δώσω πάν-
28 τας τοὺς ὑπεναντίους σου φυγάδας. [28]καὶ ἀποστελῶ τὰς σφηκίας
προτέρας σου, καὶ ἐκβαλεῖ τοὺς Αμορραίους καὶ τοὺς Ευαίους καὶ
29 τοὺς Χαναναίους καὶ τοὺς Χετταίους ἀπὸ σοῦ. [29]οὐκ ἐκβαλῶ αὐ-
τοὺς ἐν ἐνιαυτῷ ἑνί, ἵνα μὴ γένηται ἡ γῆ ἔρημος καὶ πολλὰ γένη-
30 ται ἐπὶ σὲ τὰ θηρία τῆς γῆς· [30]κατὰ μικρὸν μικρὸν ἐκβαλῶ αὐτοὺς
31 ἀπὸ σοῦ, ἕως ἂν αὐξηθῇς καὶ κληρονομήσῃς τὴν γῆν. [31]καὶ θήσω
τὰ ὅριά σου ἀπὸ τῆς ἐρυθρᾶς θαλάσσης ἕως τῆς θαλάσσης τῆς
Φυλιστιιμ καὶ ἀπὸ τῆς ἐρήμου ἕως τοῦ μεγάλου ποταμοῦ Εὐφρά-
του· καὶ παραδώσω εἰς τὰς χεῖρας ὑμῶν τοὺς ἐγκαθημένους ἐν
32 τῇ γῇ καὶ ἐκβαλῶ αὐτοὺς ἀπὸ σοῦ. [32]οὐ συγκαταθήσῃ αὐτοῖς καὶ
33 τοῖς θεοῖς αὐτῶν διαθήκην, [33]καὶ οὐκ ἐγκαθήσονται ἐν τῇ γῇ σου,
ἵνα μὴ ἁμαρτεῖν σε ποιήσωσιν πρός με· ἐὰν γὰρ δουλεύσῃς τοῖς
θεοῖς αὐτῶν, οὗτοι ἔσονταί σοι πρόσκομμα.
24 [1]Καὶ Μωυσῇ εἶπεν Ἀνάβηθι πρὸς κύριον σὺ καὶ Ααρων καὶ
Ναδαβ καὶ Αβιουδ καὶ ἑβδομήκοντα τῶν πρεσβυτέρων Ισραηλ, καὶ
2 προσκυνήσουσιν μακρόθεν τῷ κυρίῳ· [2]καὶ ἐγγιεῖ Μωυσῆς μόνος
πρὸς τὸν θεόν, αὐτοὶ δὲ οὐκ ἐγγιοῦσιν· ὁ δὲ λαὸς οὐ συνανα-
3 βήσεται μετ᾽ αὐτῶν. [3]εἰσῆλθεν δὲ Μωυσῆς καὶ διηγήσατο τῷ λαῷ
πάντα τὰ ῥήματα τοῦ θεοῦ καὶ τὰ δικαιώματα· ἀπεκρίθη δὲ πᾶς
ὁ λαὸς φωνῇ μιᾷ λέγοντες Πάντας τοὺς λόγους, οὓς ἐλάλησεν
4 κύριος, ποιήσομεν καὶ ἀκουσόμεθα. [4]καὶ ἔγραψεν Μωυσῆς πάντα
τὰ ῥήματα κυρίου. ὀρθρίσας δὲ Μωυσῆς τὸ πρωὶ ᾠκοδόμησεν

22 ακοη ult. > A | ακουσητε ult.] -σης A | ποιησης ult.] -σητε B† || 23 σου] υμων B*† || 24 αλλα] + και A† || 25 σου $2^{0}$ ⌒ $3^{0}$ A* || 28 εκβαλει M] -λεις B†, -λω A | τους $2^{0}$ $3^{0}$ > B || 30 μικρον $2^{0}$ > B || 31 μεγαλου ποταμου] ποτ. του μεγ. A | τάς > A†

24 1 κυριον] pr. τον B